20 ἣν μὲν οὖν ἕκαστος αὐτῶν ἐκτήσατο καὶ ὡς ἠλευθερώ-
θησαν ὑπὸ τῶν πριαμένων αὐτὰς παρὰ τῆς Νικαρέ-
της, προϊόντος τοῦ λόγου, ἂν βούλησθε ἀκούειν καί
μοι περιουσία ᾖ τοῦ ὕδατος, δηλώσω ὑμῖν· ὡς δὲ Νέ-
αιρα αὕτη Νικαρέτης ἦν καὶ εἰργάζετο τῷ σώματι μισθ-
αρνοῦσα τοῖς βουλομένοις αὐτῇ πλησιάζειν, τοῦθ᾽
21 ὑμῖν βούλομαι πάλιν ἐπανελθεῖν. Λυσίας γὰρ ὁ σο-
φιστὴς Μετανείρας ὢν ἐραστὴς ἐβουλήθη πρὸς τοῖς
ἄλλοις ἀναλώμασιν οἷς ἀνήλισκεν εἰς αὐτὴν καὶ μυῆ-
σαι, ἡγούμενος τὰ μὲν ἄλλα ἀναλώματα τὴν κεκτημέ-
νην αὐτὴν λαμβάνειν, ἃ δ᾽ ἂν εἰς τὴν ἑορτὴν καὶ τὰ
μυστήρια ὑπὲρ αὐτῆς ἀναλώσῃ, πρὸς αὐτὴν τὴν ἄν-
θρωπον χάριν καταθήσεσθαι. ἐδεήθη οὖν τῆς Νικα-
ρέτης ἐλθεῖν εἰς τὰ μυστήρια ἄγουσαν τὴν Μετάνει- 1352
22 ραν, ἵνα μυηθῇ, καὶ αὐτὸς ὑπέσχετο μυήσειν. ἀφικο-
μένας δ᾽ αὐτὰς ὁ Λυσίας εἰς μὲν τὴν αὑτοῦ οἰκίαν οὐκ
εἰσάγει, αἰσχυνόμενος τήν τε γυναῖκα ἣν εἶχε, Βρα-
χύλλου μὲν θυγατέρα, ἀδελφιδῆν δὲ αὑτοῦ, καὶ τὴν
μητέρα τὴν αὑτοῦ πρεσβυτέραν τε οὖσαν καὶ ἐν τῷ
αὐτῷ διαιτωμένην· ὡς Φιλόστρατον δὲ τὸν Κολωνῆ-
θεν, ᾔθεον ἔτι ὄντα καὶ φίλον αὑτῷ, καθίστησιν ὁ Λυ-
σίας αὐτάς, τήν τε Μετάνειραν καὶ τὴν Νικαρέτην.
συνηκολούθει δὲ καὶ Νέαιρα αὑτη, ἐργαζομένη μὲν ἤδη
τῷ σώματι, νεωτέρα δὲ οὖσα διὰ τὸ μήπω τὴν ἡλικίαν
23 αὐτῇ παρεῖναι. ὡς οὖν ἀληθῆ λέγω, ὅτι Νικαρέτης
ἦν καὶ ἠκολούθει ἐκείνῃ καὶ ἐμισθάρνει τῷ βουλομέ-
νῳ ἀναλίσκειν, τούτων ὑμῖν αὐτὸν τὸν Φιλόστρατον
μάρτυρα καλῶ.

*ΜΑΡΤΥΡΙΑ.*

[Φιλόστρατος *Διονυσίου* Κολωνῆθεν μαρτυρεῖ εἰδέναι Νέαιραν Νικαρέτης οὖσαν, ἥσπερ καὶ Μετάνειρα ἐγένετο, καὶ κατάγεσθαι παρ᾽ αὑτῷ, ὅτε εἰς τὰ μυστήρια ἐπεδήμησαν, ἐν Κορίνθῳ οἰκοῦσαι· καταστῆσαι δὲ αὐτὰς ὡς αὑτὸν Λυσίαν τὸν Κεφάλου, φίλον ὄντα ἑαυτῷ καὶ ἐπιτήδειον.]



24 Πάλιν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ ταῦτα
Σῖμος ὁ Θετταλὸς ἔχων Νέαιραν ταυτηνὶ ἀφικνεῖται
δεῦρο εἰς τὰ Παναθήναια τὰ μεγάλα. συνηκολούθει
δὲ καὶ ἡ Νικαρέτη αὐτῇ, κατήγοντο δὲ παρὰ Κτησίπ-
πῳ τῷ Γλαυκωνίδου τῷ Κυδαντίδῃ, καὶ συνέπινε
καὶ συνεδείπνει ἐναντίον πολλῶν Νέαιρα αὕτη ὡς
ἂν ἑταίρα οὖσα. καὶ ὅτι ἀληθῆ λέγω, τούτων ὑμῖν
25 τοὺς μάρτυρας καλῶ. καί μοι κάλει Εὐφίλητον Σί- 1353
μωνος Αἰξωνέα καὶ Ἀριστόμαχον Κριτοδήμου Ἀλω-
πεκῆθεν.

*ΜΑΡΤΥΡΕΣ.*

[Εὐφίλητος Σίμωνος Αἰξωνεύς, Ἀριστόμαχος Κριτοδήμου Ἀλωπεκῆθεν, μαρτυροῦσιν εἰδέναι Σῖμον τὸν Θετταλὸν ἀφικόμενον Ἀθήναζε εἰς τὰ Παναθήναια τὰ μεγάλα, καὶ μετ᾽ αὐτοῦ Νικαρέτην καὶ Νέαιραν τὴν νυνὶ ἀγωνιζομένην· καὶ κατάγεσθαι αὐτοὺς παρὰ Κτησίππῳ τῷ Γλαυκωνίδου, καὶ συμπίνειν μετ᾽ αὐτῶν Νέαιραν ὡς ἑταίραν οὖσαν καὶ ἄλλων πολλῶν παρόντων καὶ συμπινόντων παρὰ Κτησίππῳ.]

26 Μετὰ ταῦτα τοίνυν ἐν τῇ Κορίνθῳ αὐτῆς ἐπιφα-
νῶς ἐργαζομένης καὶ οὔσης λαμπρᾶς ἄλλοι τε ἐρασταὶ
γίγνονται καὶ Ξενοκλείδης ὁ ποιητὴς καὶ Ἵππαρχος ὁ
ὑποκριτής, καὶ εἶχον αὐτὴν μεμισθωμένοι. καὶ ὅτι
ἀληθῆ λέγω τοῦ μὲν Ξενοκλείδου οὐκ ἂν δυναίμην
ὑμῖν μαρτυρίαν παρασχέσθαι· οὐ γὰρ ἐῶσιν αὐτὸν οἱ
27 νόμοι μαρτυρεῖν· ὅτε γὰρ Λακεδαιμονίους ὑμεῖς ἐσώ-
ζετε πεισθέντες ὑπὸ Καλλιστράτου, τότε ἀντειπὼν ἐν
τῷ δήμῳ τῇ βοηθείᾳ, ἐωνημένος τὴν πεντηκοστὴν τοῦ
σίτου ἐν εἰρήνῃ, καὶ δέον αὐτὸν καταβάλλειν τὰς κα-